www.tezaurliturgic.ro

+

**ΑΚΟΛΟΥΘΙΑ**

**ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ ΙΕΡΟΜΑΡΤΥΡΟΣ**

# ΣΩΚΡΑΤΟΥΣ,

**ΠΡΕΣΒΥΤΕΡΟΥ ΤΗΣ ΑΓΚΥΡΑΝΩΝ ΕΚΚΛΗΣΙΑΣ**

* Ψαλλομένη τῇ κα΄ Ὀκτωβρίου *



Συντεθεῖσα ἐν τῇ ἐν Ἁγίῳ Ὄρει Ἄθω Ἱερᾷ Μονῇ
Σίμωνος Πέτρας
ὑπὸ
Ἀθανασίου ἱερομονάχου Σιμωνοπετρίτου,
Ὑμνογράφου τῆς Ἁγίας τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας

* 1993 *

www.tezaurliturgic.ro



**Τῇ κα΄ τοῦ μηνὸς Ὀκτωβρίου μνήμη τοῦ ἁγίου ἐνδόξου ἱερομάρτυρος Σωκράτους**

*** * ***

**ΕΝ ΤΩ ΕΣΠΕΡΙΝΩ**

Ἱστῶμεν στίχ. ϛ΄. καὶ ψάλλομεν τὰ γ΄ τοῦ Μηναίου καὶ γ΄ τοῦ Ἁγίου Σωκράτους

Ἦχος δ΄. Ὡς γενναῖον ἐν μάρτυσι.

Τοῦ φωτὸς ὢν διάκονος, ἱερώτατε Σώκρατες, καὶ ποθῶν σωθῆναι ἅπαντα ἄνθρωπον, ζήλου ἐπλήσθης ὡς ἔβλεψας, λατρείαν προσφέρεσθαι, τοῖς εἰδώλοις τοῖς κωφοῖς, καὶ ματαίοις βδελύγμασιν, ὅθεν ἔσπευσας, τοὺς βωμοὺς ἀνατρέψαι καὶ κηρῦξαι, ὅτι εἷς Θεὸς ὑπάρχει, ὁ Ἰησοῦς ὁ φιλάνθρωπος.

Ἀληθῶς ὡμολόγησας, τοῦ Χριστοῦ τὴν Θεότητα, Σώκρατες πανάριστε κατενώπιον, πλήθους πολλοῦ καὶ ἐκήρυξας, Αὐτοῦ ἐνανθρώπησιν, διὸ δέχῃ ὡς εἰκός, ἐπαξίως τὸν στέφανον, ὡς ὑπέσχετο, ὁ γλυκὺς Ἰησοῦς ὁ ζωοδότης, ἐν σεπτοῖς Εὐαγγελίοις, καὶ ἐπαγάλλῃ αἰώνια.

Ἐπωμίδα ἐπέχρωσας, ἱερέως τῷ αἵματι, τῆς ὁμολογίας σου θεῖε Σώκρατες, τὸν Ἰησοῦν ἐκμιμούμενος, Ὃν πόθῳ ἠγάπησας, λειτουργήσας εὐλαβῶς, καὶ Οὗ Αἷμα τὸ τίμιον εἶχες πάντοτε, θείαν πόσιν ζωήν σοι προξενοῦσαν, ὅθεν εἴληφας ἀξίως, οἰκονομίας τὸ ἔπαθλον.

Δόξα. Ἦχος α΄.

www.tezaurliturgic.ro

Οὐκ ἔστι Θεὸς πλὴν ἐμοῦ, τοῦ Παντοκράτορος Κυρίου εἰπόντος, σὺ πάτερ τίμιε Σώκρατες, προθύμως Τούτῳ πιστεύσας ὑπήκουσας· καὶ τῇ ἱερωσύνῃ καλῶς Αὐτῷ διακονήσας, τὴν ζωηφόρον ὁμολογίαν ὡμολόγησας, καταπτύσας τὴν εἰδωλομανικὴν λατρείαν. Ὅθεν γέγονας ἐξ ἱερέως καλλίνικος μάρτυς καὶ ὁμολογητὴς τῆς τοῦ Λόγου Σαρκώσεως, Ὃν καθικέτευε ἐκτενῶς, ὑπὲρ τῶν πίστει τελούντων τὴν πανσεβάσμιον μνήμην σου.

Καὶ νῦν. Θεοτοκίον, ἦχος ὁ αὐτός.

Τὴν παγκόσμιον δόξαν τὴν ἐξ ἀνθρώπων σπαρεῖσαν, καὶ τὸν Δεσπότην τεκοῦσαν, τὴν ἐπουράνιον πύλην, ὑμνήσωμεν Μαρίαν τὴν Παρθένον, τῶν Ἀσωμάτων τὸ ᾆσμα, καὶ τῶν πιστῶν τὸ ἐγκαλλώπισμα· αὕτη γὰρ ἀνεδείχθη οὐρανός, καὶ ναὸς τῆς Θεότητος· αὕτη τὸ μεσότοιχον τῆς ἔχθρας καθελοῦσα, εἰρήνην ἀντεισῆξε, καὶ τὸ βασίλειον ἠνέῳξε. Ταύτην οὖν κατέχοντες, τῆς πίστεως τὴν ἄγκυραν, ὑπέρμαχον ἔχομεν, τὸν ἐξ αὐτῆς τεχθέντα Κύριον. Θαρσείτω τοίνυν, θαρσείτω λαὸς τοῦ Θεοῦ· καὶ γὰρ αὐτὸς πολεμήσει τοὺς ἐχθροὺς ὡς παντοδύναμος.

Εἴσοδος. Φῶς ἱλαρόν. Προκείμενον.

᾿Αναγνώσματα μαρτυρικά.

*Προφητείας Ἠσαΐου τὸ ἀνάγνωσμα.*

*(Κεφ. 43, 9-14)*

Τάδε λέγει Κύριος· Πάντα τὰ ἔθνη συνήχθησαν ἅμα καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. Τίς ἀναγγελεῖ ταῦτα ἐν αὐτοῖς; ἢ τὰ ἐξ ἀρχῆς, τίς ἀκουστὰ ποιήσει ἡμῖν; Ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν, καὶ δικαιωθήτωσαν, καὶ εἰπάτωσαν ἀληθῆ. Γίνεσθέ μοι μάρτυρες, καὶ ἐγὼ μάρτυς Κύριος ὁ Θεός, καὶ ὁ παῖς, ὃν ἐξελεξάμην, ἵνα γνῶτε καὶ πιστεύσητε, καὶ συνῆτε, ὅτι ἐγώ εἰμι. Ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεός, καὶ μετ’ ἐμὲ οὐκ ἔσται. Ἐγώ εἰμι ὁ Θεός, καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σώζων. Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα, ὠνείδισα, καὶ οὐκ ἦν ἐν ἡμῖν ἀλλότριος. Ὑμεῖς ἐμοὶ μάρτυρες, καὶ ἐγὼ Κύριος ὁ Θεός, ὅτι ἀπ’ ἀρχῆς ἐγώ εἰμι, καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος. Ποιήσω, καὶ τίς ἀποστρέψει αὐτό; Οὕτω λέγει Κύριος ὁ Θεός, ὁ λυτρούμενος ἡμᾶς, ὁ Ἅγιος Ἰσραήλ.

*Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.*

*(Κεφ. 3, 1-9)*

www.tezaurliturgic.ro

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι. Καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ᾽ ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας· οἱ πεποιθότες ἐπ᾽ αὐτόν, συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

*Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.*
*(Κεφ. 5, 15-23 & 6, 1-3)*

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου, ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα, δικαιοσύνην, καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον ὁσιότητα· ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ρομφαίαν. Συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας· πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν ἐπὶ σκοπὸν ἁλοῦνται, καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ᾽ αὐτῶν ὕδωρ θαλάσσης· ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς, καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν, βασιλεῖς, καὶ σύνετε· μάθετε, δικασταὶ περάτων γῆς· ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν, ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

## ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ

Ψάλλομεν ἰδιόμελα

www.tezaurliturgic.ro

Ἦχος α΄.

Βεβαίαν ἔχων τὴν ἄγκυραν τῆς πίστεως, λίθος τιμιώτατος ἐφάνης πάτερ Σώκρατες, τῆς τῶν Ἀγκυρανῶν Ἐκκλησίας· διδάσκων τὴν ποίμνην σου τῆς ἀληθείας τά δόγματα. Ὅθεν λυπούμενος τῇ τῶν εἰδώλων ψυχωλέθρῳ λατρείᾳ, ἀνδρείως διέλυσας τὴν δαιμονικὴν πανήγυριν ὡς ἄλλος Ἠλίας ζηλωτής, καὶ ὁμολογήσας τὸ μυστήριον τῆς ἐν Χριστῷ οἰκονομίας, ἀξίως ἀπείληφας τοῦ μαρτυρίου τὸν στέφανον, πρεσβεύων ἀπαύστως ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἦχος β΄.

Τῆς ἐν Χριστῷ σωτηρίας μέτοχος καὶ ἱερουργὸς τιμιώτατος γεγονὼς θεῖε Σώκρατες, ὅλῃ ψυχῇ καὶ διανοίᾳ τὴν παγγενῆ τῶν πλησίον ποθῶν συμετοχήν, ἐμαρτύρεις τῇ συνειδήσει, τὴν πλάνην τῶν εἰδώλων βλέπων ἐπιπολάζουσαν, διὸ καὶ ἐκ μέσου θέλων ταύτην ἀφανῖσαι, οὐκ ἠνέσχου τὰς ἐπιβωμίους θυσίας, ἃς ὁρμητικῶς διαλύσας, ἤρθης ὡς πρόβατον ἐν μέσῳ λύκων, καὶ μαρτυρήσας εὐκλεῶς, νῦν ἀπολαύεις τῆς χαρᾶς τοῦ Κυρίου σου.

Ἦχος γ΄.

Τὴν κεφαλὴν τῆς πίστεως σῴαν Σώκρατες τηρήσας, ὡς φρόνιμος οἰκονόμος Κυρίου, Τούτῳ δῶρον τίμιον ἀνέθηκας, ἀντ' ἄρτου καὶ οἴνου, τὴν κάραν σου τὴν σεπτήν. Ἣν τῷ στέφει τῆς ἱερωσύνης καὶ τῆς ἀθλήσεως καταστολίσας, τέταξαι ἀξίως σὺν τοῖς κλεινοῖς ὁμολογηταῖς καὶ ἱερομάρτυσι, πάντας πείθων ἐκ καρδίας βοᾶν· εἷς ἅγιος, εἷς Κύριος, Ἰησοῦς Χριστὸς, εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν.

Ἦχος δ΄.

Τοὺς ἐν σκότει καὶ σκιᾷ καθημένους θέλων Πάτερ συνετῖσαι, οὐκ εἰσὶ θεοὶ τὰ κωφὰ εἴδωλα ἐβόησας. Καὶ τούτων μὴ συνιέντων τὴν φιλοψυχίαν σου, ὡς τὸ Φῶς τοῦ

www.tezaurliturgic.ro

Χριστοῦ ἀρνουμένων, θῦμα λογικὸν τῷ Δεσπότῃ σου εὐθὺς προσενήνεξαι, Ὃς δεξάμενός σε μετὰ τῶν πρεσβυτέρων τῆς Ἀποκαλύψεως συνέταξε, ἔνθα λειτουργῶν ἀπαύστως, μνημόνευε τοὺς πόθῳ τιμῶντάς σε.

Δόξα. Ἦχος πλ.α΄.

Ἐν τῷ Θεῷ διαμένων Σώκρατες μακάριε, ὡς ἐργαζόμενος τὰ ἔργα τοῦ φωτός, ὅλος τῷ φωτὶ συνεκράθης. Ὅθεν τὴν νυκτώδη ἀντιθεΐαν τῶν εἰδώλων βαρέως φέρων, ἔσπευσας διὰ τῆς ὁμολογίας σου ταύτην ἀφανῖσαι, καὶ προσηνέχθης ἀντὶ κνίσσης μυσαρᾶς ἐπιβωμίου, θυσία εὐωδεστάτη τῷ Μεγάλῳ σου Ἀρχιερεῖ· Ὃν καθικέτευε ἱερομάρτυς, σωθῆναι ἡμᾶς ἀπὸ τῆς πλάνης τοῦ ἐχθροῦ.

Καὶ νῦν. Θεοτοκίον, ὁ αὐτός.

Μακαρίζομέν σε Θεοτόκε Παρθένε, καὶ δοξάζομέν σε οἱ πιστοὶ κατὰ χρέος, τὴν πόλιν τὴν ἄσειστον, τὸ τεῖχος, τὸ ἄῤῥηκτον, τὴν ἀῤῥαγῆ προστασίαν, καὶ καταφυγὴν τῶν ψυχῶν ἡμῶν.

ΕΙΣ ΤΑ ΑΠΟΣΤΙΧΑ

Στιχηρὰ προσόμοια. Ἦχος α΄. Πανεύφημοι Μάρτυρες.

Σωκράτης ὁ θεῖος ἱερεύς, ἄγκυραν τῆς πίστεως, ῥίψας εἰς πέλαγος Χάριτος, ὅλος ἀκλόνητος, ἐκ τῆς τῶν εἰδώλων, ζάλης συντετήρηται, Χριστῷ διακονῶν ὥς περ ἄγγελος, καὶ τὴν ἀλήθειαν, διαγγέλων τῆς Σαρκώσεως, ᾗ πιστεύων, πᾶς τις διασώζεται.

Στίχ. Δίκαιος ὡς φοῖνιξ ἀνθήσει καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.

Ἐκ πείρας μαθὼν τὴν ἀψευδῆ, πίστιν τοῦ Κυρίου σου, Σώκρατες θεῖε ἐκήρυξας, ταύτης ἀλήθειαν, τοῖς ἐξ ἀγνωσίας, εἴδωλα τὰ ἄψυχα, λατρεύουσι καὶ θύουσι μάταια, ὅθεν ἀπείληφας, μαρτυρίου τὸ διάδημα, παρὰ τούτων, ἐκτμηθεὶς τὴν κάραν σου.

www.tezaurliturgic.ro

Στίχ. Οἱ ἱερεῖς σου, Κύριε, ἐνδύσονται δικαιοσύνην καὶ οἱ ὅσιοί σου ἀγαλλιάσονται.

Ὡς λέων εἰσῆλθες ἀνδρικῶς, Μάρτυς εἰς τὸ στάδιον, κατὰ τῆς πλάνης βρυχώμενος, ἀλλὰ ὡς πρόβατον, ἄκακον ἐτύθης, τῷ Χριστῷ καὶ δέδειξαι, τῶν ἱερομαρτύρων ἰσάξιος, ὅθεν ἱκέτευε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην καὶ τὸ μέγα ἔλεος.

Δόξα. Ἦχος πλ.δ΄.

Ὡς τῶν μελλόντων τὴν ἐπιπόθησιν ἔχων ζέουσαν, καὶ ἐνεργῆ τὸν ζῆλον διὰ Χριστόν, ἀφόβως ἐξήλεγξας τὴν εἰδωλολατρείαν, πάτερ Σώκρατες. Οὐ σώζεται ἄνθρωπος λέγων, ἐὰν μὴ νομίμως πιστεύσῃ καὶ θύσῃ τῇ ἀληθείᾳ τοῦ Κυρίου. Γνῶτε ἔθνη καὶ σύνετε λαοί, ὅτι μόνος Αὐτὸς ὑπάρχει ὁ Ὤν, ἐν ᾧ ζῶμεν καὶ ἐσμὲν καὶ ὑπάρχομεν. Αὐτὸν ἱκέτευε, ἱερομάρτυς θαυμαστέ, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν.

Ἀνύμφευτε Παρθένε, ἡ τὸν Θεὸν ἀφράστως συλλαβοῦσα σαρκί, Μήτηρ Θεοῦ τοῦ Ὑψίστου, σῶν οἰκετῶν παρακλήσεις δέχου Πανάμωμε, ἡ πᾶσι χορηγοῦσα καθαρισμὸν τῶν πταισμάτων, νῦν τὰς ἡμῶν ἱκεσίας προσδεχομένη, δυσώπει σωθῆναι πάντας ἡμᾶς.

Νῦν ἀπολύεις. Τρισάγιον. Παναγία Τριάς. Πάτερ ἡμῶν. Ὅτι σοῦ ἐστιν.

Ἀπολυτίκιον. Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Ἀξίως ἱέρευσας τῷ Βασιλεῖ καὶ Θεῷ, σαὐτὸν θύσας Ἅγιε ὡς προσφορὰν λογικήν, ἐλέγξας τὰ εἴδωλα· ὅθεν τῶν σὲ τιμώντων, θεῖε Σώκρατες πόθῳ, δίωκε ἐκ καρδίας, πᾶσαν πίστεως πλάνην, πρεσβεύων ἀδιαλείπτως, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ ἀπόλυσις

www.tezaurliturgic.ro



## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

* * *

Μετὰ τὴν α΄ στιχολογίαν. Κάθισμα. Ἦχος α΄. Τὸν Τάφον σου, Σωτήρ.

Θεοῦ τοῦ ἀληθοῦς, ὑπηρέτης ὑπάρχων, ὑπέφερες σφοδρῶς, τὴν πολλὴν ἀγνωσίαν, ὁρῶν θεῖε Σώκρατες, τῶν θυόντων τοῖς ψεύμασιν, ὅθεν ἔδραμες, πλησθεὶς Θεσβίτου τῷ ζήλῳ, καὶ ἀνέτρεψας, ἐπιβωμίους θυσίας, δοξάσας τὸν Κύριον.

Δόξα. Καὶ νῦν. Θεοτοκίον, ὅμοιον.

Ἐλπὶς Χριστιανῶν, ἀψευδὴς καὶ βεβαία, ἐλέους χορηγέ, καὶ πηγὴ συμπαθείας, ἡ κλεὶς ἡ διανοίγουσα, τοῦ Θεοῦ τὴν χρηστότητα, πᾶσιν ἄνοιξον, τῆς εὐσπλαγχνίας τὴν πύλην, πᾶσι δώρησαι, τοῦ τῆς τρυφῆς Παραδείσου, τὴν εἴσοδον Δέσποινα.

Μετὰ τὴν β΄ στιχολογίαν. Κάθισμα. Ἦχος δ΄. Ἐπεφάνης σήμερον.

Ὡς συντρίψας ξόανα, πλάνης εἰδώλων, οὕτω πάτερ Σώκρατες, συντρίψαις εἴδωλα ψυχῶν, καὶ καθαροὺς παραστήσειας, Χριστῷ τιμῶντας, τὴν ἔνδοξον μνήμην σου.

Δόξα. Καὶ νῦν. Θεοτοκίον, ὅμοιον.

Χαῖρε θρόνε πύρινε, τοῦ Βασιλέως, καὶ λυχνία πάγχρυσε, φωτὸς τοῦ θείου τὰς ψυχάς, καὶ διανοίας λαμπρύνουσα, τῶν ἀνυμνούντων, Παρθένε σε Ἄχραντε.

www.tezaurliturgic.ro

Μετὰ τὸν Πολυέλεον. Κάθισμα. Ἦχος πλ.δ΄. Τὴν Σοφίαν καὶ Λόγον.

Θεοδότης τοῖς ἄθλοις ἀνδρειωθείς, καὶ ῥημάτων τῶν θείων ἀναμνησθείς, λεγόντων μακάριε, τὴν λατρείαν προσάγεσθαι, τῷ Δεσπότῃ μόνον καὶ Πλάστῃ τῆς κτίσεως, καὶ εἰδώλων φεύγειν προσκύνησιν ἄνομον· ὅλος ἠλλοιώθης τὴν καρδίαν θεόφρον, καὶ πῦρ διεσκόρπισας καὶ θυσίας ἀνέτρεψας, ἐκβοῶν τοῖς ὁρῶσί σε· λατρεύσατε γνησίως Θεῷ, καὶ τὴν πλάνην πάντες ἀποπτύσατε, ὅπως εὕρητε μέγα καὶ πλούσιον ἔλεος.

Δόξα. Καὶ νῦν. Θεοτοκίον, ὅμοιον.

Τὸ πολύφωτον ὄχημα τοῦ Θεοῦ, θείου φέγγους λυχνία χρυσοφαής, ἄσπιλε ἀμόλυντε, ὑπεράμωμε Δέσποινα, τὴν σκοτεινὴν ψυχήν μου, τυφλώττουσαν πάθεσι, τῆς ἀπαθείας αἴγλῃ, καταύγασον δέομαι· καὶ μεμολυσμένην, τὴν καρδίαν μου πλῦνον, ῥοαῖς κατανύξεως, μετανοίας καὶ δάκρυσιν, ἵνα πόθῳ κραυγάζω σοι· πρέσβευε τῷ σῷ Υἱῷ καὶ Θεῷ, τῶν πταισμάτων δοῦναί μοι τὴν ἄφεσιν, σὲ γὰρ ἔχω ἐλπίδα, βεβαίαν ὁ δοῦλός σου.

Οἱ ᾿Αναβαθμοί· ᾿Εκ νεότητός μου...(τὸ α΄ ἀντίφωνον τοῦ δ΄ ἤχου)

Προκείμενον· Δίκαιος ὡς φοῖνιξ ἀνθήσει.......

Στίχος· Πεφυτευμένος ἐν οἴκῳ Κυρίου...........

Εὐαγγέλιον· τὸ τοῦ ῎Ορθρου τῆς κγ΄᾿Απριλίου.

῾Ο Ν΄, ᾿Ελέησόν με... καὶ εἶτα

Δόξα. Ταῖς τοῦ ἀθλοφόρου. Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.

Στίχ.᾿Ελεῆμον, ἐλέησόν με ὁ Θεός...καὶ τὸ ἰδιόμελον

Ἦχος πλ.β΄.

Σῴαν κρατήσας τὴν πίστιν σου, ἱερομάρτυς σοφέ, κατέπτυσας τὴν τῶν εἰδώλων μανίαν· καὶ τῆς ἀληθείας τῷ φωτὶ περιλαμπόμενος, τοῖς πλανωμένοις ἐξ ἀγνοίας

www.tezaurliturgic.ro

ἐβόας· οὐκ ἔστι Θεὸς ἕτερος τοῦ Δεσπότου Χριστοῦ, Αὐτῷ γνησίως προσκυνήσωμεν.

Ὁ Κανὼν τοῦ Ἁγίου Σωκράτους, οὗ ἡ ἀκροστιχίς:
**"Σώκρατες, ψυχὰς κράτυνον ὑμνητῶν σου. Ἀ(θανάσιος)".**

Ὠδὴ α΄. Ἦχος δ΄. Ἀνοίξω τὸ στόμα μου.

Σωκράτη τῆς Χάριτος, φιλοθεΐᾳ ὑπέρτερον, Σωκράτους ὑπάρξαντα, τοῦ παλαιοῦ σοφιστοῦ, εὐφημήσωμεν, πιστοὶ εὐσεβοφρόνως, εἰδώλων γὰρ ἤλεγξε, πλάνην ψυχώλεθρον.

Ὡραίῳ κατέστεπται, στέφει ἡ κάρα σου ἅγιε, ὡς θείᾳ συνάψαντος ἱερωσύνῃ φαιδρῶς, τὴν τοῦ αἵματος, σεπτὴν ὁμολογίαν, δι' ἧς ἄνω Πόλεως, μέτοχος γέγονας.

Κρατῶν κατεκράτησας, πίστεως Σώκρατες γνήσιον, διδάσκαλος ἔνθεος τοῖς προσκυνοῦσι κωφά, χειροποίητα, γενόμενος τρισμάκαρ, καὶ χαίρων ἐχώρησας, πρὸς τὸ μαρτύριον.

Θεοτοκίον

Ρητόρων ἐξήντληται, ἡ ὁπλοθήκη Πανάμωμε, θαυμάτων τὸ πέλαγος, ἐκδιηγήσασθαι, ἅπερ Δέσποινα, ἐπιτελεῖς σοῖς δούλοις, κἀγὼ πῶς ἐπάξιον, πλέξω ἐγκώμιον;

Ὠδὴ γ΄. Τοὺς σοὺς ὑμνολόγους.

Ἀγάπῃ φλεχθεὶς τοῦ σοῦ Δεσπότου, θυσία ἐγένου λογική, ὁ πρὶν ὥσπερ τις ἄγγελος, Αὐτῷ θύων ὦ Σώκρατες, διὸ συγκαταλέλεξαι, σὺν πρεσβυτέροις καὶ μάρτυσι.

Τὴν θείαν φορέσας ἐπωμίδα, ἐλάμβανες Πάτερ κατὰ νοῦν, Χριστοῦ τὴν συγκατάβασιν, καὶ θάνατον σωτήριον, ὅθεν Αὐτῷ ὡμοίωσαι, ἀποτομῇ σεπτῆς κάρας σου.

www.tezaurliturgic.ro

Ἐχώρησας Μάρτυς αὐτοκλήτως, πρὸς στάδιον τὸ ἀθλητικόν, καὶ κνίσσαν ἐπιβώμιον, ἐσκόρπισας τῷ ζήλῳ σου, ὅθεν εὐῶδες δέχεται, σὲ ὁ Χριστὸς ὡς θυμίαμα.

Θεοτοκίον

Σωτῆρα τεκοῦσα Θεοτόκε, εἰδώλων ἐρρύσω ζοφερᾶς, τῆς πλάνης τὸ ἀνθρώπινον, διὸ καὶ ὁ μακάριος, Σωκράτης ὡμολόγησε, τὴν θεϊκὴν συγκατάβασιν.

Κάθισμα. Ἦχος γ΄. Τὴν ὡραιότητα.

Ἐξ ὡραιότητος, Μάρτυς τῆς κτίσεως, Κτίστην ἐπέγνωκας, Θεὸν καὶ Κύριον, ᾧ διηκόνησας καλῶς, τῇ θείᾳ ἱερωσύνῃ, ὅτε δὲ ἑώρακας, τὴν λατρείαν προσφέροντας, ἐθνικοὺς τοῖς κτίσμασιν, ἐκ ψυχῆς ἀνεβόησας · Χριστὸς ὑπάρχει κόσμου Δεσπότης, τούτῳ ἐμπρέπει πᾶσα δόξα.

Δόξα. Καὶ νῦν. Θεοτοκίον.

Τὴν ὡραιότητα τῆς παρθενίας σου, καὶ τὸ ὑπέρλαμπρον τὸ τῆς ἁγνείας σου, ὁ Γαβριὴλ καταπλαγείς, ἐβόα σοι Θεοτόκε· ποῖον σοι ἐγκώμιον, προσαγάγω ἐπάξιον; τί δὲ ὀνομάσω σε; ἀπορῶ καὶ ἐξίσταμαι. Διὸ ὡς προσετάγην βοῶ σοι· Χαῖρε ἡ Κεχαριτωμένη.

ᾨδὴ δ΄. Τὴν ἀνεξιχνίαστον.

Ψεῦδος καὶ μανία δαιμονική, πέλουσιν εἰδώλων σεβάσματα, ὅθεν σωφρόνως, ἐπιστρέψατε Θεῷ, τῷ ἀληθεῖ ἐκραύγαζες, Σώκρατες θεόφρον τοῖς θύουσιν

Ὑπερηφανείᾳ πλήρης φωτός, πρότερον ὑπάρχων ἐσκότισται, ὁ Ἑωσφόρος, διὸ πλάνην θολεράν, ψευδοθεῶν εἰσήγαγε, Μάρτυς τοῖς λαοῖς ἐξεδίδαξας.

Χρῆμα ὅλως ἔστιν ἀνωφελές, σέβειν τῶν εἰδώλων μιάσματα, καὶ θύειν τούτοις, συμπολῖται ἀγαθοί, Σώκρατες ἀνεβόησας, τῇ φιλοψυχίᾳ ὠθούμενος.

Θεοτοκίον

www.tezaurliturgic.ro

Ἄλλη οὐχ ὑπάρχει ὡς σὺ Ἁγνή, τέξασα Θεὸν τὸν τὰ σύμπαντα, παραγαγόντα, ἐκ μὴ ὄντων καὶ ἡμᾶς, εἰς ἑαυτοῦ καλέσαντα, θείαν μετοχὴν ὡς φιλάνθρωπος.

ᾨδὴ ε΄. Ἐξέστη τὰ σύμπαντα.

Σωκράτης ὁ ἔνδοξος, τῇ χάριτι τοῦ Πνεύματος, γέγονε βροντώδης θεολόγος, πλάνην αἰσχύνας, τὴν ψυχολέτειραν, καὶ οἰκονομίας τοῦ Χριστοῦ, τὸ φρικτὸν μυστήριον, ὡμολόγησε πλήθεσι.

Κηρύξας ἀλήθειαν, τοῖς πλανωμένοις ἔνδοξε, τούτους ἀποστῆναι τῆς ἀπάτης, καὶ ἐπιστρέψαι, Χριστῷ παρώτρυνας, ἀλλὰ μὴ θελήσαντες ἰδεῖν, φῶς ψυχοσωτήριον, σὲ θανάτῳ παρέδωκαν.

Ρημάτων τῆς χάριτος, τῷ δροσισμῷ μακάριε, ἔσπευσας τὴν φλόγα κατασβέσαι, ἑορταζόντων, κωφοῖς βδελύγμασι, καὶ κατακλυσμῷ εἰδωλικῆς, ἀθεΐας Σώκρατες, πνιγομένων ἑκούσια.

Θεοτοκίον

Ἀγγέλων Πανάμωμε, εἰδότες ἀνωτέραν σε, πάντες οἱ πιστεύοντες Υἱῷ σου, τὴν μητρικήν σου, πρεσβείαν πάντοτε, ἔχομεν προσφύγιον στερρόν, τὴν δὲ θείαν κλῆσιν σου, γλυκυτάτην παράκλησιν.

ᾨδὴ στ΄. Τὴν θείαν ταύτην.

Τί μάτην σέβεσθε εἴδωλα, χειρῶν ὑμῶν τὰ ἔργα ὡς ἄφρονες, καὶ οὐ πιστεύετε, Χριστῷ Σωτῆρι ἐκραύγαζες, Ἀγκυρανῶν πολίταις, ὦ πάτερ Σώκρατες.

Ὑψόθεν ἔχων τὴν δύναμιν, ὡς πρόβατον τοῖς λύκοις ἐχώρησας, Μάρτυς χριστόφιλε, κατασυντρίψας τὰ ξόανα, καὶ ἀληθείας φέγγος, καθωμολόγησας.

www.tezaurliturgic.ro

Ναῷ Κυρίου ἱέρευσας, θυσίαν ἐκτελῶν τὴν σωσίκοσμον, ὅθεν ἀνέδειξας, σαὐτὸν ναὸν ἱερώτατον, τῷ θείῳ μαρτυρίῳ, μακαριώτατε.

Θεοτοκίον

Οὐ σθένω Δέσποινα Πάναγνε, αἰτῆσαι τὴν ἁγίαν πρεσβείαν σου, ἐκ παραπτώσεων, εἰ μὴ προφθάσασα ἔλαιον, πληγαῖς μου ἐπιστάξῃς, καὶ ἰατρεύσῃς με.

**Κοντάκιον. Ἦχος δ΄. Ὁ ὑψωθείς.**

Τῶν ἱερέων τὸν χιτῶνα τιμήσας,
ἐν μαρτυρίῳ τῷ Κυρίῳ συνήφθης,
Ὃν καθ' ἡμέραν ἔθυες τὸ πρὶν Μάρτυς σοφέ·
πλάνην δὲ ἀντίθεον, ἐξελέγξας εἰδώλων
κάραν ἀπετμήθης σου, τὴν σεπτὴν καὶ τὸ στέφος,
ὁμολογίας εἴληφας φαιδρῶς,
ὅθεν τιμῶμεν, τὴν μνήμην σου Σώκρατες.

**Ὁ Οἶκος**

Ἐναποῤῥίψας σου στερρῶς τὴν ἄγκυραν Κυρίῳ,
φωτὸς Αὐτοῦ ὅλος ἐμπέπλησαι·
καὶ τῇ σεπτῇ ἱερωσύνῃ κοσμηθείς φαιδρῶς
ὡς ἄγγελος προθύμως ἐλειτούργησας·
τὴν εἰδωλομανίαν δὲ βλέπων αὔξουσαν
ψυχήν σου ἤλγεις ὡς φιλάδελφος·
διὸ ἐλέγξας κραταιῶς τοὺς κρατουμένους ταύτῃ,
καλῇ μιμήσει Θεοδότης τῆς παρθενομάρτυρος,
τὴν κάραν ἀπετμήθης ἀθλητὰ ἱερώτατε.
Ὅθεν τιμῶμεν, τὴν μνήμην σου Σώκρατες.

**Τῇ ΚΑ΄ τοῦ αὐτοῦ μηνὸς, μνήμη τοῦ ἁγίου ἐνδόξου ἱερομάρτυρος καὶ ὁμολογητοῦ Σωκράτους, πρεσβυτέρου τῆς ἐν Ἀγκύρᾳ Ἐκκλησίας.**

Στίχοι

Ὁ Σωκράτης ἔσπευδεν ὀφθῆναι, Λόγε,

www.tezaurliturgic.ro

Τετμημένος σοι Σωκράτης στεφοκράτης.
Χάριτος μάρτυς σοφὸν σφόδρα ὑπερεκέρασεν.

Ὁ θεῖος οὗτος ἱερομάρτυς καὶ ὁμολογητὴς Σωκράτης, ὑπῆρχε πρεσβύτερος τίμιος τῆς Ἀγκυρανῶν Ἐκκλησίας. Ζήλῳ δὲ ὑπαναφθεὶς ἐκ τοῦ μαρτυρίου τῆς ἁγίας παρθενομάρτυρος Θεοδότης καὶ σφόδρα ψυχαλγήσας, ὡς κατιδὼν ἐν πανδήμῳ ἑορτῇ τοὺς εἰδωλομανοῦντας συμπολίτας αὐτοῦ προσφέροντας λατρείαν τοῖς ψευδέσι θεοῖς, ἐφορμήσας κατέστρεψε τὸν βωμὸν τῶν θυσιῶν, διασκορπίσας τῇδε κἀκεῖσε τὰ ἐναγῆ μιάσματα καὶ ἐξήλεγξε τὴν ἄλογον πλάνην τούτων. Ὅθεν ἐκ τούτου ἐκμανέντες οἱ δεισιδαίμονες ἐθνικοί, ἀπέτεμον εὐθὺς τὴν τιμίαν αὐτοῦ κεφαλήν, ἣν ὁ Κύριος ἔστεψε τῷ μαρτυρικῷ στέφει.

καὶ τὰ λοιπὰ τοῦ Συναξαριστοῦ

**Ταῖς τῶν σῶν Ἁγίων πρεσβείαις, Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.**

ᾨδὴ ζ΄. Οὐκ ἐλάτρευσαν.

Νίκην ἤνεγκας, κατὰ δαιμόνων Ἅγιε, δυνάμει Πνεύματος, ὡς εἴρηκεν ὁ Σωτήρ, γενόμενος πρόχειρος ῥήτωρ θεσπέσιε, κράζων θύουσι, μόνος ὑπάρχει Κύριος, Ὃν ὑμνεῖτε εἰς αἰῶνας.

Ὑπερήφανον, κατέβαλες ἀντίπαλον, ὁμολογίᾳ σου, ἀθλήσας θεοφιλῶς, καὶ στέφος ἀπείληφας πάνσεπτε Σώκρατες, ἀμαράντινον, καὶ συναγάλλῃ μάρτυσιν, ἐν Χριστῷ εἰς τοὺς αἰῶνας.

Μακαρίζομεν, τὴν πάνσεπτόν σου ἄθλησιν, Μάρτυς χριστόστεπτε, δι᾽ ἧς τὰ νικητικά, βραβεῖα ἀπείληφας παρὰ Κυρίου σου, Ὃν ἐκήρυξας, Υἱὸν Θεοῦ δεσπόζοντα, εἰς αἰῶνας τῶν αἰώνων.

Θεοτοκίον

www.tezaurliturgic.ro

Νέον τέτοκας, Ἀδὰμ Παρθένε Πάναγνε, ἡμῖν παρέχοντα, στολὴν υἱοθετικήν, εἰκόνος γενήσεσθαι αὐτοῦ ἰνδάλματα, καὶ ἐνδύσασθαι, τὴν ἀφθαρσίαν Δέσποινα, εἰς αἰῶνας τῶν αἰώνων.

Ὠδὴ η΄. Παῖδας εὐαγεῖς.

Ἤλγησας ἰδὼν τῇ πλάνῃ, Ἀγκύρας τοὺς πολιστὰς λατρεύοντας, Μάρτυς ἀξιάγαστε, ὅθεν καὶ προσέδραμες, ποικίλαις παραινέσεσιν τοῦ μεταστῆσαι αὐτούς, καὶ μηδόλως ἀκουσάντων λόγους σου, αὐθωρεὶ τὰς θυσίας διέλυσας.

Τύχην μὴ ὑπάρχειν ὅλως, ᾗ θύετε μάτην καὶ ψευδῶς, γνῶτε ὡς λόγον ἔχοντες, Δεσπότην τὸν φιλάνθρωπον, τοῖς συμπολίταις ἔλεγες Μάρτυς καλλίνικε, Ὅς τις μέλλει, πάλιν δόξῃ ἔρχεσθαι, καὶ κρινεῖ πράξεις λόγους νοήματα.

Ὤφθης ὅλος πεπλησμένος, μαρτύρων τῇ χάριτι χριστόαθλε, ὅθεν οὐ λελόγισαι, πόνους καὶ μαρτύρια, ἀλλ' ὥς τις ἄκμων ἔμεινας, στερρῶς τυπτόμενος, καὶ ἐν τέλει, κεφαλήν ἐτμήθης σου, ἀνελθών τοῦ Δεσπότου ἐνώπιον.

Θεοτοκίον

Νίκη τῶν Μαρτύρων ἔστιν, Υἱός σου ὁ Ἀρχιμάρτυς Δέσποινα, πρὸς Ὅν ἀτενίζοντες, δύναμιν λαμβάνουσι, διὸ ὥσπερ ἀθύρματα, θῆρας καὶ βράσματα, φλόγα ξῖφος ἔχουσι καὶ χαίροντες, ἐκδημοῦσι πρὸς θεῖα σκηνώματα.

Ὠδὴ θ΄. Ἅπας γηγενής.

Στήλη θεϊκῆς, ἀγάπης ἐστήλωσαι τοῖς φιλομάρτυσι, Σώκρατες θεσπέσιε, Χριστῷ γλυφεῖσα εἰς τὸν Παράδεσον· οὐ γὰρ φιλοσοφίᾳ σὺ, ὥσπερ συνώνυμος, ὁ ἀρχαῖος, γνώριμος γεγένησαι, ἀλλὰ πίστει μωρίας Κηρύγματος.

www.tezaurliturgic.ro

Ὅλος πυρωθείς, πυρὶ θείου Πνεύματος, φλόγα κατέσβεσας, ἀσεβείας ἅγιε, καὶ μαρτυρήσας ὑφῆψας ἅπασιν, ἑωρακόσιν ἄθλους σου πυρκαϊὰν τὴν ἁγνήν, ἥτις φλέγει, ἅπαν κόσμου νόημα, καὶ συνάπτει Χριστῷ τοὺς πῦρ πνέοντας.

Ὕμνοις καὶ ᾠδαῖς, τιμῶντας τὴν μνήμην σου, εὐλόγει Ἅγιε, κράτυνον ἀγάπησιν, τὴν τοῦ Κυρίου καὶ δίδου δύναμιν, ἐν πειρασμοῖς ἀείποτε, ὥστε νικᾶν εὐχερῶς, τῶν εἰδώλων, προσβολὰς καὶ τρόπαια, ἀνιστᾶν τῷ Κυρίῳ ὦ Σώκρατες.

Θεοτοκίον

Ἄνασσα Ἁγνή, ὑμνήσας τὸν Μάρτυρα σοῦ γλυκυτάτου Υἱοῦ, δέομαι ἐπάκουσον, καὶ ταῖς καρδίαις πιστῶν ἐγκαίνισον, τὴν θείαν ἐπιπόθησιν τῆς Βασιλείας Αὐτοῦ, ἀξιοῦσα, πάντας Παναγία μου, μετασχεῖν μυστηρίων τοῦ μέλλοντος.

Ἐξαποστειλάριον. Ἦχος γ΄. Ὁ Οὐρανὸν τοῖς ἄστροις.

Ἱερωσύνης ποδήρη, κεκοσμημένος ἱερὸν, ἐπέβαψας μαρτυρίου, τῷ αἵματι ἀθλοφόρε, καὶ νῦν συνὼν τῷ Δεσπότῃ, ὑπὲρ τοῦ κόσμου πρεσβεύεις.

Θεοτοκίον, ὅμοιον.

Χρυσοπλοκώτατε πύργε, καὶ δωδεκάτειχε πόλις, ἡλιοστάλακτε θρόνε, καθέδρα τοῦ Βασιλέως, ἀκατανόητον θαῦμα, πῶς γαλουχεῖς τὸν Δεσπότην;

**ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ**

Στιχηρὰ προσόμοια. Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.

Σωκράτους θείου τὴν μνήμην, πανηγυρίσωμεν, τιμίου ἱερέως, ἀθλητοῦ τε ἐνδόξου, ἐν μέσῳ γὰρ ἀνόμων γνώμῃ στερρᾷ, τὸν Χριστὸν ὡμολόγησεν, Υἱὸν Πατρὸς πρὸ αἰώνων Μονογενῆ, καὶ Σωτῆρα πάσης κτίσεως.

Ἀγκυρανῶν ἐκκλησία, πρῶτον ἐγνώρισε, σεπτὸν ἐν ἱερεῦσι, σὲ ὦ Σώκρατες θεῖε, ἐν μάρτυσι δὲ εἶτα

www.tezaurliturgic.ro

ἀθλοστεφῆ, σὲ κατέχουσα γάννυται, ὑπὲρ πιστῶν ἱκετεύοντα ἐκτενῶς, τῷ Δεσπότῃ καὶ Θεῷ ἡμῶν.

Τῆς Θεοδότης τὰ ἆθλα, βλέπων μακάριε, ὑπὲρ Χριστοῦ ἐφλέχθης, τὴν καρδίαν καὶ ἄφνω, ἐχώρησας γενναίως ἀναβοῶν, τοῖς εἰδώλοις λατρεύουσι, τῶν ἀκαθάρτων δαιμόνων στῆτε μακράν, ἀληθῆ Θεῷ λατρεύοντες.

Μερίδα Σώκρατες ἔχων, ἐν Βασιλείᾳ Θεοῦ, μὴ ἐπιλάθῃ πάτερ, τῶν τελούντων σὴν μνήμην , καὶ γὰρ ἐν ἁμαρτίαις ὄντες πολλαῖς, ὅμως τέκνα ὑπάρχομεν, τοῦ Φιλανθρώπου Δεσπότου, Ὃν ἐκτενῶς, ἐλεῆσαι ἡμᾶς πρέσβευε.

Δόξα. Ἦχος πλ.δ΄.

Τὴν ἀλωπεκὴν τῆς θεοσεβείας ὑπενδὺς ὁ μισόψυχος, τὸν ἰὸν τῆς εἰδωλομανίας, τῇ οἰκουμένῃ θολερῶς ἐξέχεε. Καὶ τὴν ἰσοθεΐαν θρασέως ἀπαιτῶν, εἵλκυσε τοὺς ἀνθρώπους εἰς προσκύνησιν ἑαυτοῦ διὰ τῶν κτισμάτων ἤ τοῦ Κτίσαντος Κυρίου. Ὅθεν ὁ θεόπνους χριστομάρτυς Σωκράτης, ζήλῳ εὐσεβείας πυρωθείς, διέλυσεν ἀνδρείως τὰς ἐναγεῖς τῶν ξοάνων θυσίας, καὶ ἐγένετο λαμπρὸς τῆς Βασιλείας στεφοκράτης. Αὐτοῦ ταῖς ἱκεσίαις, Δέσποτα Χριστέ, σῶσον τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον

Δέσποινα πρόσδεξαι, τὰς δεήσεις τῶν δούλων σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Δοξολογία μεγάλη κλπ.

Μεγαλυνάρια

Τῆς ἱερωσύνης λαμπρὰν στολήν, διὰ μαρτυρίου, λαμπροτέραν δείξας σοφέ, ἔχεις παρρησίαν, ὦ Σώκρατες Κυρίῳ, Ὃν ἐξιλέου πάτερ, ὑπὲρ τιμώντων σε.

www.tezaurliturgic.ro

Τῇ θεολογίᾳ τοῦ Ἰησοῦ, ὑπερῆρας Μάρτυς, συνωνύμου σου παλαιοῦ, τὴν φιλοσοφίαν, ὡς τοῦ αἰῶνος τούτου, οὗ σὺ ἀπεχωρίσθης, ἄθλοις σου Σώκρατες.

Κράτησον τὴν πίστιν σῴαν ἡμῖν, Σώκρατες καὶ σκέπε, ταῖς ἁγίαις σου προσευχαῖς, πάντας συνωνύμους, καὶ δεῖξον συμμετόχους, δείπνου τῆς Βασιλείας, τοὺς σὲ γεραίροντας.

Στίχοι

Σώκρατες Μάρτυς καὶ Χριστοθῦτα θεῖε,
Εὐλόγει, σῶσον, τοὺς ὑμνῳδούς σου πάντας.



Ἐγράφη, σὺν Θεῷ ἁγίῳ, ἡ ἀκολουθία αὕτη ἐν τῇ Ἱερᾷ Μονῇ Σίμωνος Πέτρας, Ἁγίου Ὄρους Ἄθω, τῇ 2ᾳ Σεπτεμβρίου 1993.